⟨αὐ⟩τὴν τρωθεῖσαν προέσθαι τὸ σῶμα'. δεύτερον, εἰς τὸν οὐρανὸν αὐτῆς ἀνακομισθείσης, καὶ τὴν Ἀθηνᾶν ἀναγελάσαι λέγουσαν (Ε 422)

D ʽἦ μάλα δή τινα Κύπρις Ἀχαιιάδων ἀνιεῖσα
Τρωσὶν ἅμα σπέσθαι, τοὺς νῦν ἔκπαγλα φίλησεν,
τῶν τινα καρρέζουσα Ἀχαιιάδων βαθυκόλπων,
πρὸς χρυσῇ περόνῃ καταμύξατο χεῖρα ἀραιήν·'

ʽοἶμαι δὲ καὶ σέ' εἶπεν, ʽὦ βέλτιστε διδασκάλων, ὅταν τινὰ τῶν μαθητῶν φιλοφρονούμενος καταψᾷς καὶ καταρρέζῃς, μὴ τῇ ἀριστερᾷ χειρὶ τοῦτο ποιεῖν ἀλλὰ τῇ δεξιᾷ· καθάπερ εἰκός ἐστι καὶ τὴν Ἀφροδίτην, ἐπιδεξιωτάτην θεῶν οὖσαν, οὕτω φιλοφρονεῖσθαι τὰς ἡρωίδας.'

## ΠΡΟΒΛΗΜΑ Ε

E *Διὰ τί Πλάτων εἰκοστὴν ἔφη τὴν Αἴαντος ψυχὴν ἐπὶ τὸν κλῆρον ἐλθεῖν*

Collocuntur Sospis, Hylas, Lamprias, Ammonius, Marcus

**1.** Ταῦτα τοὺς ἄλλους ἅπαντας ἡδίους ἐποίησεν, μόνον δὲ τὸν γραμματικὸν Ὕλαν ὁ ῥήτωρ Σῶσπις ὁρῶν ἀποσιωπῶντα καὶ βαρυθυμούμενον (οὐ πάνυ γὰρ εὐημέρησεν ἐν ταῖς ἐπιδείξεσιν) ἀνεφώνησεν (λ 543)

ʽοἴη δ' Αἴαντος ψυχὴ Τελαμωνιάδαο·'

τὰ ⟨δὲ⟩ λοιπὰ μεῖζον [ἢ] φθεγγόμενος ἤδη πρὸς ἐκεῖνον ἐπέραινεν (λ 561)

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id402389735/318 UNIVERSITÄT LEIPZIG